προστρόπαιον αἷμα θήσεις· οἰστέον δὲ τὴν τύχην.
ΙΩΝ. ὦ ταυρόμορφον ὄμμα Κηφισοῦ πατρός,
οἵαν ἔχιδναν τήνδ᾽ ἔφυσας ἢ πυρὸς
δράκοντ᾽ ἀναβλέποντα φοινίαν φλόγα,
ᾗ τόλμα πᾶσ᾽ ἔνεστιν, οὐδ᾽ ἥσσων ἔφυ
Γοργοῦς σταλαγμῶν, οἷς ἔμελλέ με κτανεῖν.
λάζυσθ᾽, ἵν᾽ αὐτῆς τοὺς ἀκηράτους πλόκους
κόμης καταξήνωσι Παρνασοῦ πλάκες,
ὅθεν πετραῖον ἅλμα δισκηθήσεται.
ἐσθλοῦ δ᾽ ἔκυρσα δαίμονος, πρὶν ἐς πόλιν
μολεῖν Ἀθηνῶν χὑπὸ μητρυιὰν πεσεῖν.
ἐν συμμάχοις γὰρ ἀνεμετρησάμην φρένας
τὰς σάς, ὅσον μοι πῆμα δυσμενής τ᾽ ἔφυς·
εἴσω γὰρ ἄν με περιβαλοῦσα δωμάτων
ἄρδην ἂν ἐξέπεμψας εἰς Ἅιδου δόμους.
ἀλλ᾽ οὔτε βωμὸς οὔτ᾽ Ἀπόλλωνος δόμος
σώσει σ᾽· ὁ δ᾽ οἶκτος ὁ σὸς ἐμοὶ κρείσσων πάρα
καὶ μητρὶ τἠμῇ· καὶ γὰρ εἰ τὸ σῶμά μοι
ἄπεστιν αὐτῆς, τοὔνομ᾽ οὐκ ἄπεστί πω.
ἴδεσθε τὴν πανοῦργον, ἐκ τέχνης τέχνην
οἵαν ἔπλεξε· οὐ βωμὸν ἔπτηξεν θεοῦ,
ὡς οὐ δίκην δώσουσα τῶν εἰργασμένων.
ΚΡ. ἀπεννέπω σε μὴ κατακτείνειν ἐμὲ
ὑπέρ τ᾽ ἐμαυτῆς τοῦ θεοῦ θ᾽ ἵν᾽ ἕσταμεν.
ΙΩΝ. τί δ᾽ ἐστὶ Φοίβῳ σοί τε κοινὸν ἐν μέσῳ;
ΚΡ. ἱερὸν τὸ σῶμα τῷ θεῷ δίδωμ᾽ ἔχειν.
ΙΩΝ. κἄπειτ᾽ ἔκτανες φαρμάκοις τὸν τοῦ θεοῦ;
ΚΡ. ἀλλ᾽ οὐκέτ᾽ ἦσθα Λοξίου, πατρὸς δὲ σοῦ.
ΙΩΝ. ἀλλ᾽ ἐγενόμεσθα, πατρὸς δ᾽ οὐσίαν λέγω.
ΚΡ. οὐκοῦν τότ᾽ ἦσθα· νῦν δ᾽ ἐγώ, σὺ δ᾽ οὐκέτ᾽ εἶ.
ΙΩΝ. οὐκ εὐσεβής γε· τἀμὰ δ᾽ εὐσεβῆ τότ᾽ ἦν.
ΚΡ. ἔκτεινά σ᾽ ὄντα πολέμιον δόμοις ἐμοῖς.
ΙΩΝ. οὔτοι σὺν ὅπλοις ἦλθον εἰς τὴν σὴν χθόνα.

---

1267. παρνησοῦ libri. 1290. εὐσεβής γε] L. Dindorfius, εὐσεβῆ γε libri. 1291. σ᾽] Wakefieldius, δ᾽ libri. 1292. ὅπλοις] Barnesius, ὅπλοισιν libri.